καὶ νῦν καὶ αὖθις ἔστω τὸ τὰς ψυχὰς τῶν τεθνηκότων μήτε
σκιὰν ποιεῖν μήτε σκαρδαμύττειν.᾿ ταῦτ᾿ ἀκούσας ὁ Θεσπέ-
σιος ἤδη τε μᾶλλον ἑαυτὸν τῷ λογίζεσθαι συνήγαγε καὶ
διαβλέψας εἶδεν ἑαυτῷ μὲν [τινα] συναιωρουμένην ἀμυ- D
δράν τινα καὶ σκιώδη γραμμήν, ἐκείνους δὲ περιλαμπο-
μένους κύκλῳ καὶ διαφανεῖς ἐντός, οὐ μὴν ὁμοίως ἅπαντας·
ἀλλὰ τοὺς μέν, ὥσπερ ἡ καθαρωτάτη πανσέληνος, ἓν
χρῶμα λεῖον καὶ συνεχὲς ὁμαλῶς ἱέντας, ἑτέρων δὲ φολί-
δας τινὰς διατρεχούσας ἢ μώλωπας ἀραιούς, ἄλλους δὲ
κομιδῇ ποικίλους καὶ ἀτόπους τὴν ὄψιν, ὥσπερ οἱ ἔχεις
μελάσμασι κατεστιγμένους, ἄλλους δέ τινας ἀμβλείας
ἀμυχὰς ἔχοντας.

25. Ἔλεγεν οὖν ἕκαστα φράζων ὁ τοῦ Θεσπεσίου συγ-
γενὴς (οὐδὲν γὰρ οὕτω κωλύει τὰς ψυχὰς ὀνόματι τῶν
ἀνθρώπων προσαγορεύειν), ὡς Ἀδράστεια μέν, Ἀνάγκης E
καὶ Διὸς θυγάτηρ, ἐπὶ πᾶσι τιμωρὸς ἀνωτάτω τέτακται
τοῖς ἀδικήμασι, καὶ τῶν πονηρῶν οὔτε μέγας ⟨οὕτως⟩
οὐδεὶς οὔτε μικρὸς γέγονεν ὥστ᾿ ἢ λαθὼν διαφυγεῖν ἢ
βιασάμενος. ἄλλη δ᾿ ἄλλη τιμωρία τριῶν οὐσῶν φύλακι
καὶ χειρουργῷ προσήκει· τοὺς μὲν γὰρ εὐθὺς ἐν σώμασι καὶ
διὰ σωμάτων κολαζομένους μεταχειρίζεται Ποινὴ ταχεῖα,
πρᾴῳ τινὶ τρόπῳ καὶ παραλείποντι πολλὰ τῶν καθαρμοῦ
δεομένων· ὧν δὲ μεῖζόν ἐστιν ἔργον ἡ περὶ τὴν κακίαν
ἰατρεία, τούτους Δίκη μετὰ τὴν τελευτὴν ὁ δαίμων παρα- F
δίδωσι· τοὺς δὲ πάμπαν ἀνιάτους ἀπωσαμένης τῆς Δίκης
ἡ τρίτη καὶ ἀγριωτάτη τῶν Ἀδραστείας ὑπουργῶν Ἐρι-
νύς, μεταθέουσα πλανωμένους καὶ περιφεύγοντας ἄλλον